A μὴ καθάπερ οἱ ζωγράφοι τὰ χρώματα ταῦτα κεραννύντας, ἀλλ' ἀπὸ τῶν εἰρημένων τὰς ἀνακλωμένας αὐγὰς, πρὸς ἀλλήλας συμβάλλοντας. μάλιστα γὰρ δύναιτ' ἄν τις κατὰ φύσιν θεωρῆσαι τὰς τῶν χρωμάτων κράσεις· τὰς δὲ πίστεις καὶ τὰ ὅμοια δεῖ [ἐκ τούτων λαβεῖν] ἐν οἷς ἡ γένεσις ἐστὶ φανερὰ τῶν χρωμάτων. ταῦτα δὲ μάλιστά ἐστι, τό τ' ἀπὸ τοῦ ἡλίου φῶς, καὶ τὸ ἀπὸ τοῦ πυρὸς, καὶ ὁ ἀὴρ καὶ τὸ ὕδωρ. B κεραννύμενα γὰρ τῷ μᾶλλον καὶ ἧττον, ταῦτα μάλιστα πάσας (ὡς εἰπεῖν) τὰς χρόας ἀποτελεῖ. ἐπιληπτέον δὲ καὶ ἀπὸ τῶν ἄλλων χρωμάτων ταῖς αὐγαῖς κεραννυμένων, τὴν ὁμοιότητα. οἱ γὰρ ἄνθρακες καὶ ὁ καπνὸς, καὶ ὁ ἰὸς, καὶ τὸ θεῖον, καὶ τὰ πτερώματα κεραννύμενα, τὰ μὲν ταῖς τοῦ ἡλίου αὐγαῖς, τὰ δὲ ταῖς τοῦ πυρὸς, πολλὰς καὶ ποικίλας ποιοῦσι C μεταβολὰς χρωμάτων. τὰ δὲ καὶ τῇ πέψει θεωρητέον, γινόμενα ἐν φυτοῖς, καὶ καρποῖς, καὶ τριχώμασι, καὶ πτερώμασι, καὶ τοῖς τοιούτοις πᾶσι.

## Κεφάλαιον γ.

ΔΕῖ δὲ μὴ λανθάνειν τὸ πολυειδὲς καὶ τὸ ἄπειρον τῶν χρωμάτων, διὰ πόσα συμβαίνει γίνεσθαι. εὑρήσομεν γὰρ, ἤτοι διὰ τὸ τῷ φωτὶ καὶ ταῖς σκιαῖς ἀνίσως καὶ ἀνωμάλως D τὰς κράσεις λαμβάνεσθαι· καὶ γὰρ αἱ σκιαὶ καὶ τὸ φῶς κατὰ τὸ μᾶλλον καὶ ἧττον, πολὺ διαφέρουσιν αὐτῶν. ὥστε καὶ καθ' αὐτὰς καὶ μετὰ τῶν χρωμάτων μιγνύμεναι, ποιοῦσι μεταβολὰς χρωμάτων, ἢ τῷ τὰ κεραννύμενα, τῷ πλήθει καὶ ταῖς δυνάμεσι διαφέρειν, ἢ τῷ λόγοις ἔχειν μὴ τοῖς αὐτοῖς. πολλὰς γὰρ καὶ τὸ ἁλουργὲς ἔχει καθ' αὑτὸ [τὰς] διαφορὰς, καὶ E τὸ φοινικοῦν, καὶ τὸ λευκὸν, καὶ τῶν ἄλλων ἕκαστον, καὶ κατὰ τὸ μᾶλλον καὶ ἧττον, καὶ κατὰ τὴν πρὸς ἄλληλα μίξιν, καὶ εἰλικρίνειαν αὐτῶν. ποιεῖ δὲ διαφορὰν καὶ τὸ λαμπρὸν ἢ στίλβον εἶναι τὸ μιγνύμενον· ἢ τὸ ἐναντίον, αὐχμηρὸν καὶ ἀλαμπές. ἔστι δὲ τὸ στίλβον, οὐκ ἄλλό τι, ἢ συνέχεια φωτὸς καὶ πυκνότης. τὸ δὲ χρυσοειδὲς γίνεται, ὅταν τὸ ξανθὸν καὶ τὸ ἡλιῶδες πυκνωθὲν ἰσχυρῶς, στίλβῃ. F διὸ καὶ οἱ τῶν περιστερῶν τράχηλοι, καὶ τῶν ὑδάτων οἱ σταλαγμοὶ, φαίνονται χρυσοειδεῖς, τοῦ φωτὸς ἀνακλωμένου. ἔστι δὲ ἃ λειούμενα τρίψει καὶ δυνάμεσί τισιν, ἀλλοίας ἴσχει καὶ ποικίλας χρόας, ὥσπερ καὶ ὁ ἄργυρος παρατριβόμενος,

non vt pictores vocant, hos colores simul atterentes, sed ex iis, quæ dicta sunt, rationem habentes refractorum radiorum, qui ad inuicem iaciuntur, & collimant: sic enim quispiam possit ex præscripto naturæ colorum temperamenta spectare. Ad veritatem autem, certásque similitudines deprehendendas, oportet habere cognitas, ac perspectas procreationes, & colorum ipsorum natales. Atqui horum causam optimatem dicimus lucem Solis, lucem ignis, aerem prætereà, & aquam. Nam hæc plus aut minùs contemperata, omnes, vt ita dicam, colores perficiunt. Eadem indagine & aliorum colorum, qui radiis permiscentur, imaginem & similitudinem explorari oportet: quandoquidem & carbones & fumus, & ærugo & sulphur & pennæ auium contemperatæ, hæ quidem cum radiis Solis, hæ verò cum splendore ignis, multas ac varias faciunt colorum commutationes. Sunt & quæ à concoctione ac maturitate consideranda sunt: qualia quæ fiunt in plantis, in fructibus, in capillis, & pennis auium, & cæteris aliis huiusmodi.

## CAPVT III.

AT illud neminem latêre debet, multiformem, & infinitam illam colorum multitudinem quot modis fieri contingat. Eius rei hanc causam obseruauimus, quòd à luce & vmbris, inæquales, & sine ratione confiant temperaturæ. Nam lux & vmbræ, secundum plus & minus, varias inuehunt differentias: vt primò secundum se ipsas, mox admistæ coloribus, colorum commutationes efficiant: vel in eo quòd commista, & multitudine, & facultatibus differunt: vel quòd non habeant easdem rationes, proportionésque. Siquidem & ipsum purpureum secundum se ipsum multas habet differentias: sic & puniceum, & album, & aliorũ vnumquodq. Item secundum maius & minus, item secundum mutuam inter se admistionem, eorúmq. synceritatem. Facit prætereà differentiam prout luminosum, ac nitidum mistũ ipsum fuerit: aut ex contrario squallidũ ac sine lumine? Nihil enim est aliud τὸ στίλβον, id est, nitidum ac refulgens, nisi luminis quædam collectio, & densitas. Species verò auri emergit, cum xanthum, id est, flauum, & solare bene cõdensatum enitescit. Ob id colla columbarum & pluuiarum stillæ, colore visuntur aureo tunc, cùm lux repercutitur. Sunt etiam quædam, quæ læuigata attritu & arcana quædam facultate, alios, atque alios induunt colores: sicut argẽtum perfrictum,